1318a ὤ μοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς, = 1107
b τοῖσι φίλοις δὲ πόνος δειλὰ παθὼν γενόμην. 1108

---

ὦ παῖ, ἐπεί τοι δῶκε θεὰ χάριν ἱμερόεσσαν
Κύπρις, σὸν δ' εἶδος πᾶσι νέοισι μέλει,
τῶνδ' ἐπάκουσον ἐπῶν καὶ ἐμὴν χάριν ἔνθεο θυμῶι,
γνοὺς ἔρος ὡς χαλεπὸν γίνεται ἀνδρὶ φέρειν.

---

Κυπρογένη, παῦσόν με πόνων, σκέδασον δὲ μερίμνας
θυμοβόρους, στρέψον δ' αὖθις ἐς εὐφροσύνας·
μερμήρας δ' ἀπόπαυε κακάς, δὸς δ' εὔφρονι θυμῶι
μέτρ' ἥβης τελέσαντ' ἔργματα σωφροσύνης.

---

ὦ παῖ, ἕως ἂν ἔχηις λείαν γένυν, οὔποτέ σ' αἰνῶν
παύσομαι, οὐδ' εἴ μοι μόρσιμόν ἐστι θανεῖν. ×
σοί τε διδόντ' ἔτι καλόν, ἐμοί τ' οὐκ αἰσχρὸν ἐρῶντι
αἰτεῖν· ἀλλὰ γονέων λίσσομαι ἡμετέρων·
αἴδεό μ' ὦ παῖ ⟨ ⟩ διδοὺς χάριν, εἴ ποτε καὶ σὺ
ἕξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου
χρηΐζων καὶ ἐπ' ἄλλον ἐλεύσεαι· ἀλλά σε δαίμων
δοίη τῶν αὐτῶν ἀντιτυχεῖν ἐπέων.

---

ὄλβιος, ὅστις ἐρῶν γυμνάζεται οἴκαδε ἐλθών,
εὕδων σὺν καλῶι παιδὶ πανημέριος.

---